## Tekst 1

*Odysseus en Eurycleia*

467 Τὴν γρηῢς χείρεσσι καταπρηνέσσι λαβοῦσα
468 γνῶ ῥ᾽ ἐπιμασσαμένη, πόδα δὲ προέηκε φέρεσθαι·
469 ἐν δὲ λέβητι πέσε κνήμη, κανάχησε δὲ χαλκός,
470 ἂψ δ᾽ ἑτέρωσ᾽ ἐκλίθη· τὸ δ᾽ ἐπὶ χθονὸς ἐξέχυθ᾽ ὕδωρ.
471 Τὴν δ᾽ ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα, τὼ δέ οἱ ὄσσε
472 δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
473 Ἁψαμένη δὲ γενείου Ὀδυσσῆα προσέειπεν·
474 “ Ἦ μάλ᾽ Ὀδυσσεύς ἐσσι, φίλον τέκος· οὐδέ σ᾽ ἐγώ γε
475 πρὶν ἔγνων, πρὶν πάντα ἄνακτ᾽ ἐμὸν ἀμφαφάασθαι.”
476 Ἦ καὶ Πηνελόπειαν ἐσέδρακεν ὀφθαλμοῖσι,
477 πεφραδέειν ἐθέλουσα φίλον πόσιν ἔνδον ἐόντα.
478 Ἡ δ᾽ οὔτ᾽ ἀθρῆσαι δύνατ᾽ ἀντίη οὔτε νοῆσαι·
479 τῇ γὰρ Ἀθηναίη νόον ἔτραπεν· αὐτὰρ Ὀδυσσεὺς
480 χείρ᾽ ἐπιμασσάμενος φάρυγος λάβε δεξιτερῆφι,
481 τῇ δ᾽ ἑτέρῃ ἕθεν ἆσσον ἐρύσσατο φώνησέν τε·
482 “Μαῖα, τίη μ᾽ ἐθέλεις ὀλέσαι; Σὺ δέ μ᾽ ἔτρεφες αὐτὴ
483 τῷ σῷ ἐπὶ μαζῷ· νῦν δ᾽ ἄλγεα πολλὰ μογήσας
484 ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
485 Ἀλλ᾽ ἐπεὶ ἐφράσθης καί τοι θεὸς ἔμβαλε θυμῷ,
486 σίγα, μή τίς τ᾽ ἄλλος ἐνὶ μεγάροισι πύθηται.
487 Ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
488 εἴ χ᾽ ὑπ᾽ ἐμοί γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
489 οὐδὲ τροφοῦ οὔσης σεῦ ἀφέξομαι, ὁππότ᾽ ἂν ἄλλας
490 δμῳὰς ἐν μεγάροισιν ἐμοῖς κτείνωμι γυναῖκας.”
491 Τὸν δ᾽ αὖτε προσέειπε περίφρων Εὐρύκλεια·
492 “Τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
493 Οἶσθα μὲν οἷον ἐμὸν μένος ἔμπεδον οὐδ᾽ ἐπιεικτόν,
494 ἕξω δ᾽ ὡς ὅτε τις στερεὴ λίθος ἠὲ σίδηρος.
495 Ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·

εἴ χ᾽ ὑπό σοι γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
δὴ τότε τοι καταλέξω ἐνὶ μεγάροισι γυναῖκας,
αἵ τέ σ᾽ ἀτιμάζουσι καὶ αἳ νηλίτιδές εἰσι.”
Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
“Μαῖα, τίη δὲ σὺ τὰς μυθήσεαι; Οὐδέ τί σε χρή.
Εὖ νυ καὶ αὐτὸς ἐγὼ φράσομαι καὶ εἴσομ᾽ ἑκάστην·
ἀλλ᾽ ἔχε σιγῇ μῦθον, ἐπίτρεψον δὲ θεοῖσιν.”
Ὣς ἄρ᾽ ἔφη, γρηῢς δὲ διὲκ μεγάροιο βεβήκει
οἰσομένη ποδάνιπτρα· τὰ γὰρ πρότερ᾽ ἔκχυτο πάντα.
Αὐτὰρ ἐπεὶ νίψεν τε καὶ ἤλειψεν λίπ᾽ ἐλαίῳ,
αὖτις ἄρ᾽ ἀσσοτέρω πυρὸς ἕλκετο δίφρον Ὀδυσσεὺς
θερσόμενος, οὐλὴν δὲ κατὰ ῥακέεσσι κάλυψε.

*Homerus, Odyssee 19.467-507*

*Aantekeningen*

| | |
|---|---|
| *regel 467* | **Τὴν** *verwijst naar Odysseus' litteken* |
| *regel 469* | **καναχέω** rammelen |
| *regel 475* | **ἀμφαφάομαι** rondom betasten |
| *regel 476* | **ἐσδέρκομαι**, *aoristus* **ἐσέδρακον** kijken naar |
| *regel 480* | **ἡ φάρυξ**, **φάρυγος** keel |
| *regel 493* | **ἐπιεικτός** bedwingbaar |
| *regel 498* | **νηλῖτις**, **-ιδος** onschuldig |
| *regel 503* | **διέκ** door … naar buiten |
| *regel 504* | **τὸ ποδάνιπτρον** water om voeten te wassen |
| *regel 505* | **λίπα** glanzend |
| *regel 506* | **ἀσσοτέρω** + *genitivus* dichter bij |
| *regel 507* | **θέρομαι**, *futurum* **θέρσομαι** zich warmen |
| | **ἡ οὐλή** litteken |

## Tekst 2

*Odysseus en de vrijers*

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς,
ἆλτο δ᾽ ἐπὶ μέγαν οὐδόν, ἔχων βιὸν ἠδὲ φαρέτρην
ἰῶν ἐμπλείην, ταχέας δ᾽ ἐκχεύατ᾽ ὀϊστοὺς
αὐτοῦ πρόσθε ποδῶν, μετὰ δὲ μνηστῆρσιν ἔειπεν·

“Οὗτος μὲν δὴ ἄεθλος ἀάατος ἐκτετέλεσται·
νῦν αὖτε σκοπὸν ἄλλον, ὃν οὔ πώ τις βάλεν ἀνήρ,
εἴσομαι, αἴ κε τύχωμι, πόρῃ δέ μοι εὖχος Ἀπόλλων.”
Ἦ καὶ ἐπ᾽ Ἀντινόῳ ἰθύνετο πικρὸν ὀϊστόν.
Ἦ τοι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε,
χρύσεον ἄμφωτον, καὶ δὴ μετὰ χερσὶν ἐνώμα,
ὄφρα πίοι οἴνοιο· φόνος δέ οἱ οὐκ ἐνὶ θυμῷ
μέμβλετο· τίς κ᾽ οἴοιτο μετ᾽ ἀνδράσι δαιτυμόνεσσι
μοῦνον ἐνὶ πλεόνεσσι, καὶ εἰ μάλα καρτερὸς εἴη,
οἷ τεύξειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν;
Τὸν δ᾽ Ὀδυσεὺς κατὰ λαιμὸν ἐπισχόμενος βάλεν ἰῷ,
ἀντικρὺ δ᾽ ἁπαλοῖο δι᾽ αὐχένος ἤλυθ᾽ ἀκωκή.
Ἐκλίνθη δ᾽ ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρὸς
βλημένου, αὐτίκα δ᾽ αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν
αἵματος ἀνδρομέοιο· θοῶς δ᾽ ἀπὸ εἷο τράπεζαν
ὦσε ποδὶ πλήξας, ἀπὸ δ᾽ εἴδατα χεῦεν ἔραζε·
σῖτός τε κρέα τ᾽ ὀπτὰ φορύνετο. Τοὶ δ᾽ ὁμάδησαν
μνηστῆρες κατὰ δώμαθ᾽, ὅπως ἴδον ἄνδρα πεσόντα,
ἐκ δὲ θρόνων ἀνόρουσαν ὀρινθέντες κατὰ δῶμα,
πάντοσε παπταίνοντες ἐϋδμήτους ποτὶ τοίχους·
οὐδέ που ἀσπὶς ἔην οὐδ᾽ ἄλκιμον ἔγχος ἑλέσθαι.
Νείκειον δ᾽ Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσι·
“Ξεῖνε, κακῶς ἀνδρῶν τοξάζεαι· οὐκέτ᾽ ἀέθλων
ἄλλων ἀντιάσεις· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
Καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανες ὃς μέγ᾽ ἄριστος
κούρων εἰν Ἰθάκῃ· τῷ σ᾽ ἐνθάδε γῦπες ἔδονται.”
Ἴσκεν ἕκαστος ἀνήρ, ἐπεὶ ἦ φάσαν οὐκ ἐθέλοντα
ἄνδρα κατακτεῖναι· τὸ δὲ νήπιοι οὐκ ἐνόησαν,
ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου πείρατ᾽ ἐφῆπτο.
Τοὺς δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
“ Ὦ κύνες, οὔ μ᾽ ἔτ᾽ ἐφάσκεθ᾽ ὑπότροπον οἴκαδ᾽ ἱκέσθαι
δήμου ἄπο Τρώων, ὅτι μοι κατεκείρετε οἶκον,

δμῳῇσιν δὲ γυναιξὶ παρευνάζεσθε βιαίως,
αὐτοῦ τε ζώοντος ὑπεμνάασθε γυναῖκα,
οὔτε θεοὺς δείσαντες, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν,
οὔτε τιν᾽ ἀνθρώπων νέμεσιν κατόπισθεν ἔσεσθαι·
νῦν ὑμῖν καὶ πᾶσιν ὀλέθρου πείρατ᾽ ἐφῆπται.”
Ὣς φάτο, τοὺς δ᾽ ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλε·
πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον·
Εὐρύμαχος δέ μιν οἶος ἀμειβόμενος προσέειπεν·
“Εἰ μὲν δὴ Ὀδυσεὺς Ἰθακήσιος εἰλήλουθας,
ταῦτα μὲν αἴσιμα εἶπας, ὅσα ῥέζεσκον Ἀχαιοί,
πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ᾽ ἐπ᾽ ἀγροῦ.
Ἀλλ᾽ ὁ μὲν ἤδη κεῖται ὃς αἴτιος ἔπλετο πάντων,
Ἀντίνοος· οὗτος γὰρ ἐπίηλεν τάδε ἔργα,
οὔ τι γάμου τόσσον κεχρημένος οὐδὲ χατίζων,
ἀλλ᾽ ἄλλα φρονέων, τά οἱ οὐκ ἐτέλεσσε Κρονίων,
ὄφρ᾽ Ἰθάκης κατὰ δῆμον ἐϋκτιμένης βασιλεύοι
αὐτός, ἀτὰρ σὸν παῖδα κατακτείνειε λοχήσας.
Νῦν δ᾽ ὁ μὲν ἐν μοίρῃ πέφαται, σὺ δὲ φείδεο λαῶν
σῶν· ἀτὰρ ἄμμες ὄπισθεν ἀρεσσάμενοι κατὰ δῆμον,
ὅσσα τοι ἐκπέποται καὶ ἐδήδοται ἐν μεγάροισι,
τιμὴν ἀμφὶς ἄγοντες ἐεικοσάβοιον ἕκαστος,
χαλκόν τε χρυσόν τ᾽ ἀποδώσομεν, εἰς ὅ κε σὸν κῆρ
ἰανθῇ· πρὶν δ᾽ οὔ τι νεμεσσητὸν κεχολῶσθαι.”

*Homerus, Odyssee 22.1-59*

*Aantekeningen*

| | |
|---|---|
| *regel 1* | **γυμνόομαι** + *genitivus* zich ontdoen van |
| *regel 5* | **ἀάατος** onbedrieglijk |
| *regel 9* | **τὸ ἄλεισον** bokaal |
| *regel 10* | **ἄμφωτος** met twee oren |
| *regel 18* | **ὁ αὐλός** straal |
| *regel 19* | **ἀνδρόμεος** mensen- |
| *regel 20* | **ἔραζε** op de grond |
| *regel 21* | **φορύνω** bezoedelen |
| | **ὁμαδέω** door elkaar schreeuwen |

| | |
|---|---|
| *regel 26* | **χολωτός** vertoornd |
| *regel 27* | **τοξάζομαι** + *genitivus* met de boog schieten naar |
| *regel 30* | **γύψ**, **γυπός** gier |
| *regel 35* | **ὑπότροπος** terugkerend |
| *regel 36* | **κατακείρω** plunderen |
| *regel 37* | **παρευνάζομαι** + *dativus* bij iemand slapen |
| *regel 38* | **ὑπομνάομαι** naar iemands hand dingen |
| *regel 49* | **ἐπιάλλω** veroorzaken |
| *regel 56* | **ἐκπίνω** uitdrinken |
| *regel 57* | **ἐεικοσάβοιος** twintig koeien waard |
| *regel 59* | **νεμεσσητός** kwalijk te nemen |

## Tekst 3

*Telemachus heeft een tijd als gast doorgebracht in Sparta. Nu hij weer vertrekt, willen Menelaus, Helena en hun zoon Megapenthes geschenken aan hem meegeven.*

Αὐτὸς δ’ ἐς θάλαμον κατεβήσετο κηώεντα,
οὐκ οἶος, ἅμα τῷ γ’ Ἑλένη κίε καὶ Μεγαπένθης.
Ἀλλ’ ὅτε δή ῥ’ ἵκανον, ὅθι κειμήλια κεῖτο,
Ἀτρεΐδης μὲν ἔπειτα δέπας λάβεν ἀμφικύπελλον,
υἱὸν δὲ κρητῆρα φέρειν Μεγαπένθε’ ἄνωγεν
ἀργύρεον· Ἑλένη δὲ παρίστατο φωριαμοῖσιν,
ἔνθ’ ἔσαν οἱ πέπλοι παμποίκιλοι, οὓς κάμεν αὐτή.
Τῶν ἕν’ ἀειραμένη Ἑλένη φέρε, δῖα γυναικῶν,
ὃς κάλλιστος ἔην ποικίλμασιν ἠδὲ μέγιστος,
ἀστὴρ δ’ ὣς ἀπέλαμπεν· ἔκειτο δὲ νείατος ἄλλων.
Βὰν δ’ ἰέναι προτέρω διὰ δώματος, ἧος ἵκοντο
Τηλέμαχον· τὸν δὲ προσέφη ξανθὸς Μενέλαος·
“Τηλέμαχ’, ἦ τοι νόστον, ὅπως φρεσὶ σῇσι μενοινᾷς,
ὥς τοι Ζεὺς τελέσειεν, ἐρίγδουπος πόσις Ἥρης.
Δώρων δ’, ὅσσ’ ἐν ἐμῷ οἴκῳ κειμήλια κεῖται,
δώσω ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστι.”

*Homerus, Odyssee 15.99-114*

*Aantekeningen*

| | |
|---|---|
| *regel 99* | **ὁ θάλαμος** schatkamer |
| | **κατεβήσετο** *Onderwerp:* Menelaus |
| | **κηώεις, -εντος** geurig |
| *regel 100* | **κίε** *aoristus van* **κίνυμαι** |
| *regel 103* | **Μεγαπένθε’** = **Μεγαπένθεα** |
| *regel 104* | **ὁ φωριαμός** kledingkist |
| *regel 105* | **ἔσαν** = **ἦσαν** |
| | **οἱ** = **αὐτῇ** |
| | **παμποίκιλος** kleurig |
| *regel 106* | **ἕν’** = **ἕνα** |
| *regel 107* | **ὃς** *antecedent:* **ἕν’** *(regel 106)* |
| | **ἔην** = **ἦν** |
| | **τὸ ποίκιλμα** borduursel |
| *regel 108* | **ἀστὴρ ὥς** = **ὡς ἀστήρ** |
| | **νείατος ἄλλων** onder de andere kledingstukken |
| *regel 109* | **Βὰν δ’ ἰέναι** = **Ἔβησαν δέ** |
| *regel 110* | **Τηλέμαχον** *Telemachus stond al buiten het paleis klaar om te vertrekken* |
| *regel 111* | **ἦ τοι** waarlijk |
| | **ὅπως** zoals |
| *regel 112* | **ὥς** zó |
| | **τοι** = **σοι** |
| *regel 113* | **κειμήλια** *Onvertaald laten* |